12-05-2021 ΟΡΘΡΟϹ ΤΕΤΑΡΤΗϹ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

12-05-2021 ΟΡΘΡΟΣ

† Μνήμη τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, Ἐπιφανίου Ἐπισκόπου Κύπρου, καὶ Γερμανοῦ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Εἰς τὸν Ὄρθρον.

Ἦχος ⲅ Γα

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

Ἀπολυτίκιον ἐκ τοῦ μηναίου

Ἦχος α΄

Τοῦ λίθου σφραγισθέντο

Ξυνωρίδα τῆς θείας Ἐκκλησίας τὰς σάλπιγγας, Γερμανὸν σοφὸν Ἱεράρχην, καὶ κλεινὸν Ἐπιφάνιον, τιμήσωμεν προφρόνως οἱ πιστοί, τὸν μὲν ὡς ἐν φρονήματι στερρῷ ὑπὲρ τῆς Χριστοῦ εἰκόνος, τὸν θεομάχον Λέοντα ἐλέγξαντα, ὡς μάστιγα δὲ αἱρέσεων δεινήν, τὸν ἅγιον Ἐπιφάνιον. Οὗτοι γὰρ ἐκτενῶς ὑπὲρ ἡμῶν, ἀεὶ πρεσβεύουσι.

Δόξα...(Τὸ ὡς ἄνω)

Καὶ νῦν...

Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος ⸏ Γα

Μετὰ τὴν α΄ Σπχολογίαν.

Καθίσματα τῆς Ὀκτωήχου.

Ἦχος α΄ . Σταυρώσιμον.

Ϲταυρωθέντος σου Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος οὐκ ἄνθρωπος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος ἔσωσας ἡμᾶς δόξα σοι.

Ἀναστάσιμον.

Ὁ Ἰσαὰκ ἐν τῷ βουνῷ ἀνηνέχθη, ὁ Ἰωνᾶς ἐν τῷ βυθῷ κατηνέχθη καὶ ἀμφότεροι τὸ πάθος σου Σωτὴρ ἐξεικόνιζον, ὁ μὲν τὰ δεσμὰ καὶ τὴν σφαγὴν ὁ δὲ τὴν ταφὴν καὶ τὴν ζωήν, τῆς παραδόξου Ἐγέρσεώς σου, Κύριε, δόξα σοι.

Δόξα... Μαρτυρικὸν.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

Καὶ νῦν... Σταυροθεοτοκίον.

Οἱ τὴν σὴν προστασιαν κεκτημένοι Ἄχραντε καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες

εὐσεβῶς μεγαλύνομεν.

Μετὰ τὴν β΄ Σπχολογίαν.

Κάθισμα τῆς Ἑορτῆς.

Ἦχος α΄.

Τὸν τάφον σου Σωτὴρ.

Ἁψάμενος χειρί, τῆς πλευρᾶς τῆς ἀστέκτου, ὁ Δίδυμος Θωμᾶς, οὐκ ἐφλέχθη τῇ ψαύσει, ἀλλ᾽ ἔμεινε τοὺς μώλωπας ψηλαφῶν ἀκριβέστερον, καὶ φθεγγόμενος τῷ δι᾽ ἡμᾶς λογχευθέντι· Σύ μου Κύριος, σὺ καὶ Θεός μου ὑπάρχεις, κἂν πάθος ὑπήνεγκας.

Δόξα... Καὶ νῦν... (Τὸ αὐτό.)

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν. Ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Ὁ Ν΄ ψαλμός χῦμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα: Ὁ Κανὼν· ὁ τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς δ΄.
Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

Ἄσωμεν πάντες λαοί, τῷ ἐκ πικρᾶς δουλείας, Φαραὼ τὸν Ἰσραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θαλάσσης, ποδὶ ἀβρόχως ὁδηγήσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Στιχ. Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Σήμερον ἔαρ ψυχῶν, ὅτι Χριστὸς ἐκ τάφου, ὥσπερ ἥλιος ἐκλάμψας τριήμερος, τὸν ζοφερὸν χειμῶνα ἀπήλασε τῆς ἁμαρτίας ἡμῶν, αὐτὸν ἀνυμνήσωμεν, ὅτι δεδόξασται.

Στιχ. Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Ἡ βασιλὶς τῶν ὡρῶν, τῇ λαμπροφόρῳ ἡμέρᾳ, ἡμερῶν τε βασιλίδι φανότατα, δορυφοροῦσα τέρπει, τὸν ἔγκριτον τῆς Ἐκκλησίας λαόν, ἀπαύστως ἀνυμνοῦσα, τὸν ἀναστάντα Χριστόν.

Στιχ. Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Πύλαι θανάτου Χριστέ, οὐδὲ τοῦ τάφου σφραγῖδες, οὐδὲ κλεῖθρα τῶν θυρῶν σοι ἀντέστησαν, ἀλλ᾽ ἐξαναστὰς ἐπέστης, τοῖς φίλοις σου εἰρήνην Δέσποτα δωρούμενος, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Δο ξα τη α γι α Α να στα σει σου Κυ
ρι ε
Πυ λαι θα να α του Χρι στε ου δε του τα
α φου σφρα γι ι δες ου δε κλει θρα των θυ
ρω ων σοι αν τε στη σαν αλλ ε ξα να
στας ε πε ε στης τοις φι λοις σου ει ρη νη ην Δε
σπο τα δω ρου με νος την παν τα νουν υ πε
ρε ε χου ου σαν

Ὁ Κανὼν τοῦ Ἁγίου Ἐπιφανίου,
Ὠδὴ α΄.
Ἦχος α΄.
Σοῦ ἡ τροπαιοῦχος.

Στίχ. Ἄλγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν τῷ τοῦ θεράποντος πιστῶς, πολιτευσάμενος νόμῳ τοῦ γράμματος, τῷ δεσποτικῷ ὑποκύψας ζυγῷ, διέπρεψας Πανόλβιε, καὶ φωστὴρ ἐδείχθης, τῆς γῆς φωτίζων τὰ πέρατα.

Στίχ. Ἄλγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πόθῳ θείου νόμου συσχεθείς, καὶ τοῦ ἀδίκου προκρίνας τὸ δίκαιον, Πάτερ Ἐπιφάνιε, συμβολικῶς ἐδέξω τὴν σωτήριον, πίστιν τῆς Τριάδος, ἐκ θείας ὥσπερ προγνώσεως.

Στίχ. Ἄλγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰατὴρ σαρκός τε καὶ ψυχῆς, θεοειδὴς σοι ἐγένετο ἄνθρωπος, τῷ ὑποζυγίῳ σου, τὸ τῶν παθῶν συναποκτείνας ὅρμημα, καὶ συνθεραπεύσας, ψυχῆς τὸ ἄπιστον φρόνημα.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλην τὴν μορφήν μου προσλαβών, ὁ ἐν μορφῇ Θεοῦ πρὶν καθορώμενος, ὅλην

ἀνεκαίνισε, τῇ σῇ γαστρὶ θεοπρεπῶς σκηνώσας Ἁγνή· ὅθεν Θεοτόκον πιστοὶ σε πάντες δοξάζομεν.

Ὁ Κανὼν τοῦ Ἁγίου Γερμανοῦ,
Ὠδὴ α΄.
Ἦχος α΄.
Σοῦ ἡ τροπαιοῦχος.

Στίχ. Ἄγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς Ἱερωσύνης τῇ στολῇ, κατακοσμούμενος Μάκαρ διέπρεψας, λόγῳ δὲ τῆς χάριτος, τὰ τῶν πιστῶν πανευσεβῶς συστήματα, ὤφθης θεοφάντορ, καταφωτίζων τοῖς δόγμασιν.

Στίχ. Ἄγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὄχημα ὑπῆρξας ἀρετῶν, οὗ ἐπιβὰς τῷ Θεῷ προσεχώρησας, κόσμου τὴν τερπνότητα, καταλιπών, καὶ τὸ σαθρὸν δοξάριον, καὶ οὐρανοφοίτης, τῇ σῇ σοφίᾳ γενόμενος.

Δόξα...

Ὑπὸ τῆς προνοίας προγνωσθείς, ὡς Ἱερεὺς θεηγόρος ἐσόμενος, Πάτερ ὑπεξέφυγας, τυραννικὴν μιαιφονίαν Ὅσιε, τοῦ Θεοῦ φρουροῦντος, σὲ δεξιᾷ παντοκράτορι.

Καὶ νῦν... Θεοτοκίον.

Ποίαν σοι ἐπάξιον ᾠδήν, ἡ ἡμετέρα προσοίσει ἀσθένεια, εἰμὴ τὴν χαρμόσυνον, ἣν Γαβριὴλ ἡμᾶς ἐμυσταγώγησε; Χαῖρε Θεοτόκε, Παρθένε Μῆτερ ἀνύμφευτε.

Ὠδὴ γ΄ τῆς Ἑορτῆς.

Ὁ Εἱρμός.

Ἦχος α΄.

Ϲτερέωσόν με Χριστέ, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου, καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου· οὐκ ἔστι γὰρ ἅγιος, πλήν σου φιλάνθρωπε.

Στιχ. **Δ**όξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Καινοὺς ἀντὶ παλαιῶν, ἀντὶ φθαρτῶν δὲ ἀφθάρτους, διὰ Σταυροῦ σου Χριστέ, τελέσας ἡμᾶς, ἐν καινότητι ζωῆς πολιτεύεσθαι, ἀξίως προσέταξας.

ρι ε

Ϥαι νουϛ αν τι ι παλαι ων αν τι φθαρ

των δε α φθα αρ τουϛ δι α Ϛταυ ρου σου Χρι

στε τε λε ε σαϛ η μαϛ εν και νο τη τι

ζω η ηϛ πο λι τευ ε σθαι α ξι ωϛ προ σε

ε τα α ξαϛ

Στιχ. Δόξα τῇ Ἁγία Ἀναστάσει σου Κύριε.

Ἐν τάφῳ περικλεισθείς, τῇ περιγράπτῳ σαρκί σου, ὁ ἀπερίγραπτος, Χριστὲ ἀνέστης, θυρῶν κεκλεισμένων δὲ ἐπέστης, σοῦ τοῖς Μαθηταῖς, παντοδύναμε.

Δο ξα τη α γι α Α ναϛ τα σει σου Κυ

ρι ε

Στιχ. Δόξα τῇ Ἁγία Ἀναστάσει σου Κύριε.

Τοὺς μώλωπάς σου Χριστέ, οὓς ἑκουσίως ὑπέστης, ὑπὲρ ἡμῶν τοῖς Μαθηταῖς σου φυλάξας μαρτύριον, τῆς σῆς ἔδειξας, ἐνδόξου Ἀναστάσεως.

ϑη ται αις σου φυ λα ξας μαρ τυ υ ρι ι ον π q της
ση ης ε δει ξας εν δο ξου Α να στα α σε ε ως π q

Κανὼν α΄, Ὠδὴ γ΄, τοῦ Ἁγίου Ἐπιφανίου.
Ἦχος α΄.
Ὁ μόνος εἰδὼς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φαιὸν περιβόλαιον ἰδών, αἰτήσαντι τὸν ἔλεον, μεταδοθὲν τοῖς σώματος ὄμμασι, λαμπρὰν ἐσθῆτα περιβαλλόμενον, νοητῶς τεθέασαι, καὶ τῇ θείᾳ χάριτι, ἐφωτίσθης πρὸς πίστιν ἀμώμητον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀκούσας ῥημάτων εὐσεβῶν, τὴν ὕλην ἐβδελύξω μέν, καὶ βίον ἐπόθησας ἄϋλον, ὡς αἵματος δὲ συμμετασχοῦσάν σοι, καὶ τῆς γνώμης μέτοχον, προσλαβὼν τὴν ὅμαιμον, ἀνεδείχθητε ζεῦγος μακάριον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νεκροὺς λογισμοὺς ἀποστραφείς, Παμμάκαρ Ἐπιφάνιε, ἐπιποθήσας ζῶντι λατρεύειν Θεῷ, τῷ θείῳ δρόμῳ πιστῶς προσέδραμες, καὶ ἐδέξω σύμβολον, τηλαυγὲς πανόλβιε, τῶν νεκρῶν σου πεδίλων τὴν ἔκπτωσιν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἁγίων τὸν Ἅγιον Χριστόν, ἁγίως ἀπεκύησας, ἁγιωσύνης ἅγιον σκήνωμα, τὸν ἐν Ἁγίοις ἀναπαυόμενον· ᾧ βοῶμεν, Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης φιλάνθρωπε.

Κανὼν β΄, Ὠδὴ γ΄, τοῦ Ἁγίου Γερμανοῦ.

Ἦχος α΄.

Ὁ μόνος εἰδὼς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ θείᾳ προγνώσει προειδώς, σῆς γνώμης τὸ ἐλεύθερον, καὶ τῆς ψυχῆς Σοφὲ τὴν εὐγένειαν, χερσὶν ἀνόμοις ἀναιρεθῆναί σε, ὡς Θεὸς ἐκώλυσε, καὶ παρθένων τάγματι, εὐνουχίᾳ πανσόφως κατέλεξεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰδεῖν ἐφιέμενος σαφῶς, Παμμάκαρ τὴν λαμπρότητα, τὴν νοητὴν τῆς θείας θεώσεως, ἱεραρχίαν τὴν σὴν ἐκόσμησας, πολιτείᾳ σώφρονι, καὶ σοφοῖς διδάγμασιν, ὀρθοδόξως ἰθύνας τὸ ποίμνιον.

Δόξα...

Μεγάλης καθέδρας ἐπιβάς, μεγάλως κατελάμπρυνας, τῆς Ἐκκλησίας Πάτερ τὸ πλήρωμα, διδασκαλίαις καὶ μελῳδήμασι, Γερμανὲ πανεύφημε, Ἱεράρχα Ὅσιε, καὶ φωστὴρ οἰκουμένης ὑπέρτιμε.

Καὶ νῦν... Θεοτοκίον.

Ἐκ σοῦ ἀνεβλάστησεν Ἁγνή, τὸ ἄνθος τὸ ἀμάραντον, εὐωδιάζον τὴν ἀνθρωπότητα, τῷ

θείῳ μύρῳ τῆς αὐτοῦ φύσεως, ὁ Πατρὶ συνάναρχος, καὶ ἐκ σοῦ γενόμενος, ὑπὸ χρόνον, Παρθένε πανάμωμε.

Εἶτα ψάλλεται

Ὁ Εἱρμὸς τῆς γ΄ ᾠδῆς τοῦ κανόνος τοῦ μηναίου.

Ἦχος α΄.

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης φιλάνθρωπε.

Κάθισμα τοῦ Ἐπιφανίου. Ἦχος γ΄.
Θείας πίστεως.

Θείοις δόγμασι, τὴν Ἐκκλησίαν, Πάτερ ἔπλησας, ὀρθοδοξίας, ταῖς διδαχαῖς σου αἱρέσεις τρεψάμενος, τῆς εὐσεβείας τὸν δρόμον ἐπλήρωσας, καὶ σὺν τῷ Παύλῳ τήν πίστιν ἐτήρησας, Ἐπιφάνιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... τοῦ Γερμανοῦ.
Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἱερὰν ἀμπεχόμενος τὴν στολήν, ἀνεδείχθης ὑπέρμαχος τοῦ Χριστοῦ, μὴ πτήξας παράνομον, Βασιλέα, Πατὴρ ἡμῶν, τὸν αὐχένα μὴ κλίνας, ἀθέῳ προστάγματι, ῥαπισμούς ὑποφέρων, ὀνείδη καὶ σκώμματα· ὅθεν ὁ ἀλάστωρ, τῷ θυμῷ ὑπερζέσας, φρουρᾷ σε κατέκλεισε, μέχρι τέλους μακάριε· διὰ τοῦτο βοῶμέν σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν...

Κάθισμα τῆς Ἑορτῆς.
Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ.

Ἰδών μου τὴν πλευρὰν καὶ τὰς τρήσεις τῶν

ἥλων, Θωμᾶ, τί ἀπιστεῖς, τῇ ἐμῇ Ἀναστάσει; ὁ Κύριος ἔλεγεν ἀναστὰς ἐκ τοῦ μνήματος, ὀπτανόμενος, τοῖς Ἀποστόλοις ἀρρήτως, ὁ δὲ Δίδυμος, πεισθεὶς ἐβόα τῷ κτίστῃ· Θεός μου εἶ καὶ Κύριος.

Εἶτα ψάλλεται
Ὠδὴ στ΄, τοῦ Μηναίου.
Ἦχος α΄. Ὁ Εἱρμὸς.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν· σὺ γὰρ ἰσχύς, τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Ἦχος ⸗ Πα

Κοντάκιον τῆς ἑορτῆς Χῦμα.
Ἦχος πλ. δ΄.

Τῇ φιλοπράγμονι δεξιᾷ, τὴν ζωοπάροχόν σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε Χριστὲ ὁ Θεός· συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐβόα σοι· Κύριος ὑπάρχεις καὶ Θεός μου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τῇ ΙΒ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἐπιφανίου, Ἐπισκόπου Κωνσταντίας τῆς Κύπρου.

Στίχοι.

Φανεὶς Ἐπιφάνιος ἐν Κύπρῳ μέγας,
Κλέος παρ' αὐτῇ καὶ θανὼν ἔχει μέγα.
Τῇ δυσκαιδεκάτῃ Ἐπιφάνιον μόρος εἷλε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γερμανοῦ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι.

Χαίρων ἀφεὶς γῆν Γερμανὸς καὶ γῆς θρόνον,
Γῆς Δημιουργοῦ τὸν θρόνον χαίρει βλέπων.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ η΄, τοῦ μηναίου.
Ἦχος α΄. Ὁ Εἱρμὸς.

Στίχ. Ἀινοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

«Ἐν καμίνῳ Παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας».

Ἦχος δ Πα

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς…

12-05-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

Τιμιωτέρα πρώτου ἤχου.

Ἦχος ⸗ Πα

Στίχος α΄

Με γα λυ νει η ψυ χη μου τον

Κυ υ ρι ον και η γαλ λι α σε το

πνευ μα μου ἐ πι τω Θε ω τω σω τη ρι

μου

Τ ην Τι μι ω τε ε ραν των Χε ρου

βει ει ει ειμ και εν δο ξο τε ε ραν α

συγ κρι ι τως των Σε ρα φειμ την α δι α

φθο ρως Θε ον Λο γον τε κου σαν την ον τως

Θε ο τοκον Σε με γα λυ νο μεν

Στίχος β΄

Ο τι ε πε βλε ψεν ε πι την τα

πει νω σιν της δου λης αυ του ι δου γαρ α

πο του νυν μα κα ρι ου σι με πα σαι αι

γε νε αι

Ἡ Ἡ Ἡ

εις γε νε αν και γε νε αν τοις φο βου με νοις

αυ τον

Π

Δ Ϯ ην Τι μι ω τε ε ραν των Χε ρου

βει ει ει ειμ και εν δο ξο τε ε ραν Δ α

συγ κρι ι τως των Σε ρα φειμ Δ την α δι α

φθο ρως Δ Θε ον Λο γον τε κου σαν π ϥ την ον τως

Π Ν Π

Θε ο το κον Σε με γα λυ νο μεν π ϥ

Στίχος δ' Μ Π

π ϥ Ϭ ποι η σε κρα τος εν βρα χι ο

νι αυ του π ϥ δι ε σκορ πι σεν π ϥ υ πε ρη

φα νους δι α νοι α καρ δι ας αυ των

Π

Δ Ϯ ην Τι μι ω τε ε ραν των Χε ρου

βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ

κρι ι τως των Σε ρα φειμ την α δι α φθο

ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε

ο τοκον Σε με γα λυ νο μεν

Στίχος ε΄ Καθ ει λε δυ νασ τας α πο θρο νων

και υ ψω σε τα πει νους πει νων τας ε

νε ε πλη σεν α γα θων και πλου τουν τας ε

ξα πε στει λε κε νους

την Τι μι ω τε ραν των Χε ρου βειμ

και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φειμ την α δι α φθο ρως Θε ον Λο γον

τε κου σαν q την ον τως Θε ο το κον Σε με γα λυ
N Π
νο μεν q

Στίχος στ'

q Ἄν τε λα βε το Ισ ρα ηλ παι
δος αυ του μνη σθη η ναι ε λε ε ε ους q κα

θως ε λα λη σε προς τους πα τε ε ρας η
μων n τω Α βρα αμ και τω σπερ μα τι αυ του

ε ως αι ω νος n
M Π
n Ἦ την Τι μι ω τε ραν των Χε ρου βειμ

n και εν δο ξο τε ραν α συγ κρι τως των Σε
M Π
ρα φειμ n την α δι α φθο ρως n Θε ον Λο

γον τε κου σαν q την ον τως Θε ο το κον Σε με γα

Εἶτα ψάλλεται ἡ θ' ᾠδὴ τοῦ Μηναίου.

Ἦχος α'. Ὁ Εἱρμός.

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος, καὶ νῦν καθ' ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν».

Ἦχος δ' Πα

ξι ον ε στιν ως α λη θως μα κα ρι
ζειν σε την Θε ο το κον την α ει μα κα ρι
στον και πα να μω μη τον και μη τε ρα του Θε
ου η μων την τι μι ω τε ραν των Χε
ρου βιμ και εν δο ξο τε ραν α συγ κρι ι τως
των Σε ρα φιμ την α δι α φθο ρως Θε ον Λο
γον τε κου σαν την ον τως Θε ο το κον σε
με γα λυ υ νο ο με ε εν

Ἐξαποστειλάριον κοινὸν.

Ἦχος β΄.

Γυναῖκες ἀκουτίσθητε.

Δεῦτε πιστοὶ τιμήσωμεν, τὴν θείαν καὶ πανίερον, Ἱεραρχῶν ξυνωρίδα, ἐν ὑμνῳδίαις ᾀσμάτων, τὸν θεῖον Ἐπιφάνιον, καὶ Γερμανὸν τοὺς λύσαντας, αἱρέσεων σκοτόμαιναν, καὶ εὐσεβείας ἀκτῖσι, φωτίσαντας πᾶσαν κτίσιν.

Ἐξαποστειλάριον.

Τῆς ἑορτῆς.

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἦχος ⲛ̈ Γα

χ Μ Γ

ⲛ̀ Θ μων με λων χει ρι σου ⲡ̀ ε ξε ρευ

νη η σας τας πλη γας ⲛ̀ μη μοι Θω μα α πι

στη σης ⲡ̀ τραυ μα τι σθε εν τι δι α

σε ⲛ̀ συν Μα θη ταις ο ο μο φρο ο ο νει Δ̈ και

ζων τα κη ρυτ τε ε Θε ον ⲛ̀

Εἰς τοὺς Αἰνους.

Σπιχηρὰ. Ἦχος α΄.

Ἦχος ⸗ Πα

Σταυρώσιμον.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς

μεγαλωσύνης αὐτοῦ.

Στίχ. Ἂινεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ϲὲ τὸν ἐν ξύλῳ προσπαγέντα καὶ ζωὴν ἡμῖν παρεσχηκότα, ὡς Σωτῆρα καὶ Δεσπότην, ὑμνοῦμεν ἀπαύστως.

Στίχ. Ἂινεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ,

Ἀναστάσιμον.

Ὁ τὸν Ἅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει, σου Χριστέ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Στίχ. Ἂινεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Μαρτυρικὸν.

Ὑμᾶς πανεύφημοι Μάρτυρες οὐ θλίψεις, οὐ στενοχωρία, οὐ λιμός, οὐ διωγμὸς οὐδὲ μάστιγες οὐ θυμὸς θηρῶν οὐ ξίφος, οὐδὲ πῦρ ἀπειλοῦν, χωρίσαι Θεοῦ δεδύνηνται, πόθῳ δὲ μᾶλλον τῷ πρὸς αὐτόν, ὡς ἐν ἀλλοτρίοις ἀγωνισάμενοι σώμασι, τὴν φύσιν ἐλάθετε, θανάτου καταφρονήσαντες· ὅθεν καὶ ἐπαξίως, τῶν πόνων ὑμῶν μισθὸν ἐκομίσασθε, οὐρανῶν βασιλείας κληρονόμοι γεγόνατε. Ἔχοντες παρρησίαν πρὸς τὸν φιλάνθρωπον Θεὸν τῷ κόσμῳ τὴν εἰρήνην αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Γ
Δ
νοι σω μα σι ϩ̈τη̈ν φυ σιν ε λα ϑε τε ϑα να
α του κα τα φρο νη σαν τες π̈ ο ϑεν και ε πα
ξι ι ως των πο νων υ μων μι σϑον ε κο
μι σα σϑε ου ρα νων Βα σι λει ας κλη ρο νο
μοι γε γο να τε π̈ πρε σβευ σα α τε υ περ των
ψυ χω ων η η μων π̈

Ἦχος πλ. Νη

Δο ο ξα Πα α τρι ι ι και Υι υι ω και α

γι ω Πνε ε ε ευ μα α α α τι

Και νυ υν και α α ει και εις τους αι

ω ω νας των αι αι ω ω ω νω ων α α

α μην

Των θυ ρων κε κλει ει σμε ε ε νων

των Μα θη των συ νη θροι οι σμε ε ε νων ε

πε στη η ο Σω ω τηρ ου ου ου η η σαν συ

νη η ηγ με ε ε ε νοι και στας εν με ε ε

ε ε σω α αυ των λε ε ε γει τω ω Θω ω

ω μα δευ ρο ψη η η λα α α α φη η σο
ο ο ο ον και αι ι ι ι δε του ους τυ
υ υ υ πους τω ω ων η η η η λων
εκ τει νον σου ου ου ου την χει ει ει ρα α
και α α ψαι τη ης πλε ευ ρα α α α ας
μου και μη γι νου ου α α α α α πι
ι ι ι στος αλ λα πι στει κη η η ρυ
υ υ υ ξον την εκ νε κρω ω ων μου Α να α
α α α στα α α α σι ι ι ι ι
σιν

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ’ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ’ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί

τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ

φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας.....

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Εἰς τὸν Σπίχον, Σπχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὦ θαύματος καινοῦ! ὦ παραδόξου τρόπου! πῶς χόρτος οὐκ ἐφλέχθη, ἡ χεὶρ τοῦ Ἀποστόλου, πυρὶ τῷ τῆς Θεότητος!

Στίχ. α΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Σπεύσωμεν καὶ ἡμεῖς, τὰς χεῖρας ἁγιάσαι, τῇ τῶν παθῶν ἀργίᾳ, καὶ οὕτω τοῦ Δεσπότου, τῆς πλευρᾶς ἐφαψόμεθα.

Στίχ. β΄. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Ἐγκαίνισον ψυχὴ πάσας σου τὰς αἰσθήσεις, πρὸς θείαν θεωρίαν· Χριστὸς γὰρ οὕτω θέλει, τελεῖσθαι τὰ ἐγκαίνια.

Δόξα... Καὶ νῦν...

Οἶκος τοῦ Ἐφραθᾶ.

Ὅρα μοι νοητῶς τὴν ἀλλαγὴν τοῦ κόσμου, καὶ κόσμησον τὰ ἔνδον, ταῖς ἀρεταῖς ὡς φύλλοις ψυχή, καὶ ὡραΐσθητι.

Πληρωθέντων τῶν ἀποστίχων ὁ ἱερεὺς λέγει.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ἀμήν.

Ἀπολυτίκιον ἐκ τοῦ μηναίου

Ἦχος α΄

Τοῦ λίθου σφραγισθέντος

Ξυνωρίδα τῆς θείας Ἐκκλησίας τὰς σάλπιγγας, Γερμανὸν σοφὸν Ἱεράρχην, καὶ κλεινὸν Ἐπιφάνιον, τιμήσωμεν προφρόνως οἱ πιστοί, τὸν μὲν ὡς ἐν φρονήματι στερρῷ ὑπὲρ τῆς Χριστοῦ εἰκόνος, τὸν θεομάχον Λέοντα ἐλέγξαντα, ὡς μάστιγα δὲ αἱρέσεων δεινήν, τὸν ἅγιον Ἐπιφάνιον. Οὗτοι γὰρ ἐκτενῶς ὑπὲρ ἡμῶν, ἀεὶ πρεσβεύουσι.

Δόξα...Καὶ νῦν ...

Ἀπολυτίκιον.

Ἦχος Βαρύς Γα

Ν
Γ
πνευμα ευ θες δι αυ των εγ και νι ζων η
μιν κα τα το με ε γα σου ε ε λε ε
ο ο ο ος

12-05-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

Εἰς τὴν Θείαν Λειτουργίαν

«Εὐλογημένη», «Χριστὸς ἀνέστη» τρίς.

Ἦχος πλ. δ΄ Πα

(Ἄπαξ ὑπὸ τοῦ Ἱερέως καὶ δὶς ὑπὸ τῶν χορῶν.)

Τό τρίτον

12-05-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

Εἰς τὴν Θείαν Λειτουργίαν

ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. Νη

1. Κυ ρι ε ε λε ε η σον
2. Κυ ρι ε ε λε ε ε η σον
3. Κυ ρι ε ε λε ε ε η σον
4. Κυ ρι ε ε λε ε ε η σον
5. Κυ ρι ε ε λε ε ε η σον
6. Κυ ρι ε ε λε ε ε ε η σον

ΕΤΕΡΑ

1. Κυ ρι ε ε λε ε ε η η σον
2. Κυ ρι ε ε ε λε ε ε η η σον
3. Κυ ρι ε ε λε η η σον

4. Κυ ρι ε ε ε λε η σο ο ον

5. Κυ ρι ε ε λε ε η σον

6. Κυ ρι ε ε λε ε ε η σον

7. Κυ ρι ε ε λε η σον

8. Κυ ρι ε ε λε η σον

9. Κυ ρι ε ε λε η σον

10. Κυ ρι ε ε λε ε η σον

11. Κυ ρι ε ε λε ε ε η σον

12. Σοι Κυ ρι ε

Ἀντίφωνον α'.

Ἦχος Δι

Σπίχ. α'. Ἀ λα λα ξα τε τω Κυ ρι ω πα σα η γη

Ταις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Σπίχ. β'. Ψα λα τε δη τω ο νο μα τι αυ του δο τε δο ξαν εν αι νε σει αυ του

Ταις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Σπίχ. γ'. Ϭι πα τε τω Θε ω ως φο

βε ρα τα ερ γα σου Εν τω πλη θει της δυ

να με ως σου ψευ σον ται σε οι εχ θροι

σου

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Σπ/χ. δ'.

Πα σα η γη προ σκυ νη σα

τω σαν σοι και ψα λα τω σαν σοι ψα λα

τω σαν δη τω ο νο μα τι σου Υ ψι

στε

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Δόξα... Καὶ νῦν...

Ἀντίφωνον β'.

Σπίχ. α'.

Σπίχ. β'. Τ ου γνω ναι εν τη γη την ο δον σου εν πα σιν ε θνε σι το σω τη ρι ον σου

Σω σον η μα ας Υι ε Θε ου ο α να στας εκ νε κρων ψαλ λον τας σοι αλ λη λου ι α

Σπίχ. γ'. Ε ξο μο λο γη σα σθω σαν σοι λα οι ο Θε ος ε ξο μο λο γη σα σθω σαν σοι λα οι παν τες

Σω σον η μα ας Υι ε Θε ου ο α να στας εκ νε κρων ψαλ λον τας σοι αλ λη

λου ι α
Στίχ. δ'.
Ευ λο γη σαι η μας ο Θε
ος και φο βη θη τω σαν αυ τον παν τα τα
πε ρα τα της γης
Σω σον η μα ας Υι ε Θε ου ο α
να στας εκ νε κρων ψαλ λον τας σοι αλ λη
λου ι α
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι αι
ω νας των αι αι ω νων Α μην

Ο μο νο γε νης Υι ος και Λο γος του
Θε ου α θα να τος υ πα α α αρ χων και
κα τα δε ξα με νος δι α την η με τε ραν
σω τη ρι ι αν σαρ κω θη η ναι εκ της
Α γι ας Θε ο το κου και α ει παρ θε
νου Μα ρι ας α τρε ε πτως ε εν αν θρω
πη σας σταυ ρω θεις τε Χρι στε ο Θε ος
θα να α τω θα να τον πα τη σας ει εις
ων της Α γι ας Τρι α δος συν δο ξα ζο
ο με νος τω Πα τρι και τω Α γι ω Πνευ μα
τι σω σον η μα α ας

Ἀντίφωνον γ΄.

Ἦχος πλ. δ΄ Πα

Στίχ. α΄. Ἀ

Στίχ. β΄. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρός ἀπό προσώπου πυρός.

Σπ́χ. γ΄.

Ου τως α πω λουν ται οι α μαρ

τω λοι α πο προ σω που του Θε ου και

οι δι και οι ευ φραν θη τω σαν

Σπ́χ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καί εὐφρανθῶμεν ἐν αὐτῇ.

Χρι στο ος α νε ε στη η ε εκ νε

κρω ω ων θα να α τω θα α να α το ο ον

πα τη η η σα α α ας και αι τοι οις εν

τοι οις μνη η μα α α σι ζω ω ην χα ρι

σα α α με νο ο ο ο ο ο ο ο ος

Εἰσοδικὸν τοῦ Πάσχα

Ἦχος Δι

Ἀπολυτίκιον.
Ἦχος Βαρύς Γα

Θ σφρα γι σμε ε νου του μνη μα τος

η ζω η εκ τα φου α νε τει λας Χρι στε ε

ο Θε ος και των θυ ρων κε κλει σμε νων τοις

Μα θη ταις ε πε στης η παν των α να στα σις

πνευ μα ευ θες δι αυ των εγ και νι ζων η

μιν κα τα το με ε γα σου ε ε λε ε

ος

Ἀπολυτίκιον ἐκ τοῦ μηναίου

Ἦχος α΄

Τοῦ λίθου σφραγισθέντος

Ξυνωρίδα τῆς θείας Ἐκκλησίας τὰς σάλπιγγας, Γερμανὸν σοφὸν Ἱεράρχην, καὶ κλεινὸν Ἐπιφάνιον, τιμήσωμεν προφρόνως οἱ πιστοί, τὸν μὲν ὡς ἐν φρονήματι στερρῷ ὑπὲρ τῆς Χριστοῦ εἰκόνος, τὸν θεομάχον Λέοντα ἐλέγξαντα, ὡς μάστιγα δὲ αἱρέσεων δεινήν, τὸν ἅγιον Ἐπιφάνιον. Οὗτοι γὰρ ἐκτενῶς ὑπὲρ ἡμῶν, ἀεὶ πρεσβεύουσι.

Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ

Κοντάκιον.

Ἦχος πλ. δ΄ Γα

η φι λο πραγ μο νι δε ξι α τη ν ζω

ο πα ρο χο ον σου πλευ ραν ο Θω μας ε ξη

ρευ νη σε Χρι στε ε ο Θε ος συγ κε κλει σμε

νων γαρ των θυ ρων ως ει σηλ θες συν τοις λοι

ποις Α πο στο λοις ε ε βο α σοι Κυ ρι ος υ

παρ χεις και Θε ο ος μου ου ου ου ου ου

ου

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ
ΤΕΤΑΡΤΗ Β' ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος πλ. γ'.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Στίχ. **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

4:13-22

Ἐν ταῖς ἡμέραις ἐκείναις, θεωροῦντες οἱ Ἰουδαῖοι τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν, τὸν δὲ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν. Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλλον πρὸς ἀλλήλους λέγοντες· τί ποιήσωμεν τοῖς ἀνθρώποις τούτοις; ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι᾽ αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι· ἀλλ᾽ ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ ἀπειλησώμεθα

αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων. Καὶ καλέσαντες αὐτοὺς παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. Ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐτοὺς εἶπον· εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. Οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσονται αὐτούς, διὰ τὸν λαόν, ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι· ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ᾽ ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.

Ἀλληλούϊα. (γ΄) Ἦχος πλ. δ΄.

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου.

Στίχ. Ὤμοσε Κύριος τῷ Δαυΐδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Ἦχος λ̅ π̅ ϊ̈ Πα̅

Κυ ρι ε ε λε η σον

Κυ ρι ε ε ε λε η σον

Κυ ρι ε ε ε λε η σον

Σοι Κυ ρι ε

Ἀ μη η η η ην χ̅ ϊ̈

χ̅ ϊ̈ Και τω πνευ μα τι ι ι ι ι σου

Σοι οι οι οι οι Κυ ρι ε

Ἕτερον.

Σοι Κυ ρι ε ε ε ε ε ε ε

Ἀ α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ΘΙϹ ΑΓΙΟϹ

Ἦχος ἁπλοῦς Πα Ἐναρμόνιος

12-05-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

Ἦχος δ΄ τος

Ἦχος λ̞ πλ̞ Πα̞ χ̄ Π

Ἀ α α νες Α α α φες Συγ

χω ω ρησον Ο Θε ε ε ος Τα Πα

ρα α πτω ω μα α τα Η μων Τα

Ε κου ου σι ι ι α τα α κου ου

ου σι ι ι α τα εν γνω ω ω σει και τα εν

α γνοι οι οι οι οι οι οι οι οι οι α τα α εν

νυ υ κτι και ε ε εν η η με ε ε ε

ρα τα κα τα νουν ζ′ και δι α α νοι οι αν τα

πα αν τα η μιν συγ χω ω ω ρη σον ως

α γα θο ος και αι αι φι λα α α α

αν θρω ω ω πο ο ο ος

12-05-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος πλ. δ΄ Πα

Χρι στε ε το φως το α λη θι νον το

φω τι ζον και α γι α α α α α α ζο

ον παν τα α αν θρω ω πον ερ χο ο ο με

νον ει εις τον κο ο ο ο ο ο ο ο

σμον ση μει ω θη η τω ω ε εφ η η

μα ας το φω ω ως του ου προ ο σω ω ω

που ου ου ου σου ι να εν αυ τω ο ψω

ω με ε θα φως το ο α προ ο ο ο

ο σι ι ι τον και κα τε ευ θυ υ υ

υ νο ον τα δι α βη η μα τα α

η μω ω ων Δ προς ερ γα σι ι ι αν τω

ω ω ων ε εν το ο ο λω ω ω ων σου π

πρε σβει ει αις της πα να χρα αν του ου ου

σου ου Μη η η τρος χ και πα αν τω ων

σου ου των Α γι ω ω ων α μην Δ

Κοινωνικόν Ποτήριον.

Ἦχος δ Πα

Ἔκτασις. ζ χ

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη η ψο ο ο μαι και το ο νο μα α Κυ υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο μαι Αλ λη λου ου ου ι ι ι ι α α α α

Στίχος. Θ πι στευ σα δι ο ε λα α λη σα ἀ ε γω δε ε τα πει νω θην σφο δρα

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι κ.τ.λ. και το ο νο μα α Κυ

υ ρι ι ου κ.τ.λ. ε πι κα λε ε ε σο ο ο ο

μαι κ.τ.λ. Αλ λη λου ου ου ι ι ι ι α

α α α κ.τ.λ.

Στίχος. Π κ.τ.λ. Ϝι αν τα πο δω σω τω Κυ

ρι ι ω Δ πε ρι πα αν των κ.τ.λ. ων αν τα πε δω

κε μει κ.τ.λ.

Π κ.τ.λ. Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι κ.τ.λ. και το ο νο μα α Κυ

υ ρι ι ου κ.τ.λ. ε πι κα λε ε ε σο ο ο ο

μαι κ.τ.λ. Αλ λη λου ου ου ι ι ι ι α

Στίχος.

Στίχος.

σκη ης σου πq δι ερ ρη ξας τους δε σμούς μου πq

πq Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι πq και το ο νο μα α Κυ

υ ρι ι ου ηq ε πι κα λε ε ε σο ο ο ο

μαι πq Αλ λη λου ου ου ι ι ι ι α

α α α πq

Στίχος. πq Θ πι στρε ψον ψυ χη μου εις την

α να παυ σιν σου πq ο τι Κυ ρι ος ευ ηρ

γε τη σε σε πq

πq Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι πq και το ο νο μα α Κυ

υ ρι ι ου ν ε πι κα λε ε ε σο ο ο ο

μαι π Αλ λη λου ου ου ι ι ι ι α

α α α π

Στίχος. π Θ λε η μων ο Κυ ρι ος και

δι και ος π και ο Θε ος η μω ων ε λε

ει π

π Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι π και το ο νο μα α Κυ

υ ρι ι ου ν ε πι κα λε ε ε σο ο ο ο

μαι π Αλ λη λου ου ου ι ι ι ι α

α α α π

Στίχος. Θυ α ρε στη σω ε νω πι ον Κυ

ρι ου εν χω ρα ζω ων των

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι και το ο νο μα α Κυ

υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο

μαι Αλ λη λου ου ου ι ι ι ι α

α α α

Στίχος. Σοι ϑυ σω ϑυ σι ι ι αν αι

νε σε ως και εν ο νο μα τι Κυ ρι ου ε πι

κα λε σο μαι

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι π και το ο νο μα α Κυ

υ ρι ι ου η ε πι κα λε ε ε σο ο ο ο

μαι π Αλ λη λου ου ου ι ι ι ι α

α α α π

Στίχος. π Ξ ας ευ χας μου τω Κυ ρι ω α

πο δω σω π ε ναν τι ον παν τος του λα ου

αυ του π εν αυ λαις οι κου Κυ ρι ου π εν

με ε σω σου Ι ε ρου σα λημ π

π Π ο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι π και το ο νο μα α Κυ

υ ρι ι ου η ε πι κα λε ε ε σο ο ο ο

μαι
πq
Αλ
λη
λου
ου
ου
ι
ι
ι
ι
α
α
α
α
πq

ΚΟΙΝΩΝΙΚΟΝ ΤΟΥ ΠΑΣΧΑ

Ἦχος λ̈ π̈ Πα

Ψε Σω ω μα Χρι ι στου ου με τα λα α
βε ε τε ε ε ε πη γη η ης α θα
να α του γε ε ευ σα α α σθε ε ε
ε

Στίχος. Με γα το μυ στη ρι ον της
Σης Χριστε ε Α να στα σε ως

Σω ω ω ω ω ω ω μα Χρι ι στου ου
με τα λα α βε ε τε ε ε ε πη γη η ης
α θα να α του γε ε ευ σα α α σθε
ε ε ε

Στίχος. Δει πνω πα ρα γε γο νας ε κων

πα θος ο Α θα να τος

Ω ω ω ω ω ω ω μα Χρι ι ι στου ου

με τα λα α βε ε τε ε ε ε πη γη η ης

α θα να α του γε ε ευ σα α α σθε

ε ε ε

Στίχος. Ο τε και ο Α δης ε πι κραν

θη λο γο θε του με νος ψυ χα ας α φαι

ρου με νος

Ω ω ω ω ω ω ω μα Χρι ι ι στου ου

με τα λα α βε ε τε ε ε ε πη γη η

Στίχος. Το τε και Μα ρι α η μυ ρι

Στίχος. Ει πα τε τω Πε τρω και τοις λοι

κρω ων ο α θα να τος
Ζω ω ω ω ω ω ω μα Χρι ι ι στου ου
με τα λα α βε ε τε ε ε ε πη γη η ης
α θα να α του γε ε ευ σα α α α
σθε ε ε ε Α α αλ λη η η λου
ου ι ι ι α α α α α α α α
α

12-05-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

Μετά τήν Θεία Κοινωνία

Ἦχος λ̞ π̞ ἀ Πα

σας η η μας των Α γι ων σου με τα σχειν
μυ υστη η η ρι ι ι ι ων τη ρη σον η
μα ας εν τω σω α γι α σμω ο λην
τη η με ε ραν με λε ταν τη δι και ο συ υ
νη η η ν σου ου ου ου Αλ λη λου ι α α α
α α α α α

12-05-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

Εἴη τό ὄνομα...

Ἦχος Δι

Τόν Εὐλογούντα...

12-05-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΜΕΤΑ ΤΟΥ ΘΩΜΑ

Καταβασίαι του Πάσχα

Ἦχος ⸗ Πα

Ὠδὴ α΄.

Ἀ να στα σε ως η με ρα λαμ πρυν

θω μεν λα οι Πα α σχα Κυ ρι ου Πα α σχα

εκ γαρ θα να του προς ζω ην και εκ γης

προς ου ρα νον Χρι στο ος ο Θε ος η μα ας

δι ε βι βα σεν ε πι νι κι ον α α δο ον

τας

Ὠδὴ γ΄.

Ἄ ευ τε πο μα πι ω μεν και νον ουκ εκ

πε τρας α γο ο νου τε ρα τουρ γου με νον αλλ

α φθαρ σι ας πη γην εκ τα α φου ομ βρη

σαν τος Χρι στου εν ω στε ρε ου ου με ε θα

Ὠδὴ δ'

Θ πι της θει ας φυ λα κης ο θε η

γο ρος Αβ βα κουμ στη τω μεθ η μων και δει

κνυ τω φα ε σφο ρον Αγ γε λον δι α πρυ

σι ως λε γον τα ση με ρον σω τη ρι α τω

κο σμω ο τι α νε στη Χρι στος ως παν

το δυ υ να α μος

Ὠδὴ ε'.

Ο ρ θρι σω μεν ορ θρου βα θε ος και

αν τι μυ ρου τον υ μνον προ σοι σω μεν

τω Δε σπο τη και Χρι στον ο ψο με θα δι

και ο συ νης η λι ον πα σι ζω ην α να

τε ελ λο ον τα

Ὠδὴ στ'.

Κα τη ηλ θες εν τοις κα τω τα α τοις

της γης και συ νε τρι ψας μο χλους αι ω

νι ι ους κα το χους πε πε δη με ε νων Χρι

στε και τρι η με ρο ος ως εκ κη τους Ι ω νας

ε ξα νε ε στης του τα φου

Ὠδὴ ζ'.

Ο Παι αι δας εκ κα μι νου ρυ σα με

νος γε νο με νος αν θρω πος πα σχει ως θνη τος

και δι α πα θους το θνη τον α φθαρ σι ας

εν δυ ει ει ευ πρε πει αν ο μο νος ευ λο

γη τος των Πα τε ε ρων Θε ος και υ

περ ε ενδο ο ξος

Ὠδὴ η΄.

Ἀι νου μεν ευ λο γου μεν και προ σκυ νου μεν τον Κυ ρι ον

Ἀυ τη η κλη τη η και α γι ι α η με ρα η μι α των Σαβ βα α α των η βα σι λι ις και κυ ρι α ε ορ των ε ορ τη και πα νη γυ ρις ε ε στι ι πα α νη γυ ρε ων εν η ευ λο γου ου ου μεν Χρι στον εις τους αι ω ω ω να α α α ας

Ο Αγ γε λος ε βο ο α τη Κε χα ρι τω με ε νη Α γνη Παρ θε νε χαι αι ρε και

Ἡ Μεταφορὰ Κειμένων – Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.